ἵκετο πρὸς τὸν βασιλέα κροῖσον, καὶ εἰσελθὼν ἔστη ἐν-
ώπιον αὐτοῦ. ὁ δὲ βασιλεὺς ἰδὼν τὸν αἴσωπον, ἠ-
γανάκτει, λέγων, ἴδε τίς ἐκώλυσέ με τοσοῦτον
μὴ ὑποτάξαι ∴ λαόν. αἴσωπος ἔφη, μέγιστε βα-
σιλεῦ, οὐ βίᾳ, οὐδ᾽ ἀνάγκῃ ἑλκόμενος ἧκον πρὸς σέ,
ἀλλ᾽ αὐτοβούλως πάρειμι. ὅμοια δὲ πάσχετε οἱ ἐξ
ἀκοῆς ὀργιζόμενοι τοῖς αἰφνιδίως τραυματιζομένοις
καὶ ἀναγκάζουσι. καὶ τὰ μὲν τραύματα ἐπιστήμη ἰατρῶν
ὑγιάζεται. τὴν δὲ σὴν ὀργὴν ὁ ἐμὸς θεραπεύσει λό-
γος. ἐὰν γὰρ ἐγὼ αὐτοθελὴς ἐλθὼν πρός σε παρὰ
τοῖς ποσί σου ἀποθάνω, σου καταγράψω τὴν βασιλείαν
εἰς ἐλάττωσιν γενέσθαι. τοὺς γὰρ φίλους σου ἀναγκά-
σεις ἐναντίας σοι γνώμας συμβουλεύειν. ἐὰν γὰρ τὰ
τοιαῦτα συμβουλεύοντες κακῶς παρά σοι κρίνονται.

∴ sic credo scriptum olim fuerat, quae fere ductus a recentiori manu vetustate fere deletis inducti sunt.

http://digital.slub-dresden.de/ppn346259193/84